Direzione Generale per gli Ordinamenti Scolastici
e la valutazione del sistema nazionale di istruzione

# Olimpiadi di Lingue e civiltà classiche
# VIII edizione - A.S. 2018-2019
# Prova regionale 15 marzo 2019
# Sezione Lingua greca

*Ierone di Siracusa discute con il poeta Simonide sulla propria condizione di tiranno*

**Ante-testo**

**Senofonte, *Ierone* 4, 9-11** (Trad. Gennaro Tedeschi)

| | |
|---|---|
| τῷ οὖν τυράννῳ τὰ πολλαπλάσια ἧττον ἱκανά ἐστιν εἰς τὰ ἀναγκαῖα δαπανήματα ἢ τῷ ἰδιώτῃ. τοῖς μὲν γὰρ ἰδιώταις ἔξεστι τὰς δαπάνας συντέμνειν εἰς τὰ καθ' ἡμέραν ὅπῃ βούλονται, τοῖς δὲ τυράννοις οὐκ ἐνδέχεται. αἱ γὰρ μέγισται αὐτοῖς δαπάναι καὶ ἀναγκαιόταται εἰς τὰς τῆς ψυχῆς φυλακάς εἰσι· τὸ δὲ τούτων τι συντέμνειν ὄλεθρος δοκεῖ εἶναι. ἔπειτα δὲ ὅσοι μὲν δύνανται ἔχειν ἀπὸ τοῦ δικαίου ὅσων δέονται, τί ἂν τούτους οἰκτίροι τις ὡς πένητας; ὅσοι δ' ἀναγκάζονται δι' ἔνδειαν κακόν τι καὶ αἰσχρὸν μηχανώμενοι ζῆν, πῶς οὐ τούτους ἀθλίους ἄν τις καὶ πένητας δικαίως νομίζοι; οἱ τύραννοι τοίνυν ἀναγκάζονται πλεῖστα συλᾶν ἀδίκως καὶ ἱερὰ καὶ ἀνθρώπους διὰ τὸ εἰς τὰς ἀναγκαίας δαπάνας ἀεὶ προσδεῖσθαι χρημάτων. ὥσπερ γὰρ πολέμου ὄντος ἀεὶ ἀναγκάζονται στράτευμα τρέφειν ἢ ἀπολωλέναι. | Dunque al tiranno le sue ricchezze, che pure sono immensamente più grandi di quelle del privato, risultano del tutto insufficienti per le spese necessarie. Il privato, in effetti, può ridurre come vuole le spese giornaliere; al contrario, al tiranno non è possibile farlo perché le spese più rilevanti e le più necessarie sono quelle cui deve far fronte per salvaguardare la propria vita; anche una loro parziale riduzione potrebbe comportare la sua completa rovina. E poi, quanti possono ottenere quel tanto di cui hanno bisogno lecitamente, perché dovrebbero essere compianti come se fossero poveri? E invece quanti sono costretti per necessità a procurarsi da vivere con espedienti malvagi e turpi, perché non dovrebbero essere considerati a buon diritto sventurati e poveri? E il tiranno, appunto, è molto spesso costretto a derubare, violando ogni diritto, templi e uomini perché ha continuamente bisogno di denaro per far fronte alle spese necessarie. È costretto, infatti, permanentemente a mantenere un esercito oppure a perire come se si trovasse in stato di guerra. |

**Testo**

**Senofonte, *Ierone* 5**

Χαλεπὸν δ' ἐρῶ σοι καὶ ἄλλο πάθημα, ὦ Σιμωνίδη, τῶν τυράννων. γιγνώσκουσι μὲν γὰρ οὐδὲν ἧττον τῶν ἰδιωτῶν τοὺς ἀλκίμους τε καὶ σοφοὺς καὶ δικαίους. τούτους δ' ἀντὶ τοῦ ἄγασθαι

φοβοῦνται, τοὺς μὲν ἀνδρείους, μή τι τολμήσωσι τῆς ἐλευθερίας ἕνεκεν, τοὺς δὲ σοφούς, μή τι μηχανήσωνται, τοὺς δὲ δικαίους, μὴ ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ' αὐτῶν προστατεῖσθαι. ὅταν δὲ τοὺς τοιούτους διὰ τὸν φόβον ὑπεξαιρῶνται, τίνες ἄλλοι αὐτοῖς καταλείπονται χρῆσθαι ἀλλ' ἢ οἱ ἄδικοί τε καὶ ἀκρατεῖς καὶ ἀνδραποδώδεις; οἱ μὲν ἄδικοι πιστευόμενοι, διότι φοβοῦνται ὥσπερ οἱ τύραννοι τὰς πόλεις μήποτε ἐλεύθεραι γενόμεναι ἐγκρατεῖς αὐτῶν γένωνται, οἱ δ' ἀκρατεῖς τῆς εἰς τὸ παρὸν ἐξουσίας ἕνεκα, οἱ δ' ἀνδραποδώδεις, διότι οὐδ' αὐτοὶ ἀξιοῦσιν ἐλεύθεροι εἶναι. χαλεπὸν οὖν καὶ τοῦτο τὸ πάθημα ἔμοιγε δοκεῖ εἶναι, τὸ ἄλλους μὲν ἡγεῖσθαι ἀγαθοὺς ἄνδρας, ἄλλοις δὲ χρῆσθαι ἀναγκάζεσθαι. ἔτι δὲ φιλόπολιν μὲν ἀνάγκη καὶ τὸν τύραννον εἶναι· ἄνευ γὰρ τῆς πόλεως οὔτ' ἂν σῴζεσθαι δύναιτο οὔτ' εὐδαιμονεῖν· ἡ δὲ τυραννὶς ἀναγκάζει καὶ ταῖς ἑαυτῶν πατρίσιν ἐνοχλεῖν. οὔτε γὰρ ἀλκίμους οὔτ' εὐόπλους χαίρουσι τοὺς πολίτας παρασκευάζοντες, ἀλλὰ τοὺς ξένους δεινοτέρους τῶν πολιτῶν ποιοῦντες ἥδονται μᾶλλον καὶ τούτοις χρῶνται δορυφόροις. ἀλλὰ μὴν οὐδ' ἂν εὐετηριῶν γενομένων ἀφθονία τῶν ἀγαθῶν γίγνηται, οὐδὲ τότε συγχαίρει ὁ τύραννος. ἐνδεεστέροις γὰρ οὖσι ταπεινοτέροις αὐτοῖς οἴονται χρῆσθαι.

## Post testo

**Senofonte, *Ierone* 6, 1-4** (Trad. Gennaro Tedeschi)

| | |
|---|---|
| Βούλομαι δέ σοι, ἔφη, ὦ Σιμωνίδη, κἀκείνας τὰς εὐφροσύνας δηλῶσαι ὅσαις ἐγὼ χρώμενος ὅτ' ἦν ἰδιώτης, νῦν ἐπειδὴ τύραννος ἐγενόμην, αἰσθάνομαι στερόμενος αὐτῶν. ἐγὼ γὰρ ξυνῆν μὲν ἡλικιώταις ἡδόμενος ἡδομένοις ἐμοί, συνῆν δὲ ἐμαυτῷ, ὁπότε ἡσυχίας ἐπιθυμήσαιμι, διῆγον δ' ἐν συμποσίοις πολλάκις μὲν μέχρι τοῦ ἐπιλαθέσθαι πάντων εἴ τι χαλεπὸν ἐν ἀνθρωπίνῳ βίῳ ἦν, πολλάκις δὲ μέχρι τοῦ ᾠδαῖς τε καὶ θαλίαις καὶ χοροῖς τὴν ψυχὴν συγκαταμιγνύναι, πολλάκις δὲ μέχρι κοινῆς ἐπιθυμίας ἐμῆς τε καὶ τῶν παρόντων. νῦν δὲ ἀπεστέρημαι μὲν τῶν ἡδομένων ἐμοὶ διὰ τὸ δούλους ἀντὶ φίλων ἔχειν τοὺς ἑταίρους, ἀπεστέρημαι δ' αὖ τοῦ ἡδέως ἐκείνοις ὁμιλεῖν διὰ τὸ μηδεμίαν ἐνορᾶν εὔνοιαν ἐμοὶ παρ' αὐτῶν· μέθην δὲ καὶ ὕπνον ὁμοίως ἐνέδρᾳ φυλάττομαι. | Voglio anche esporti, Simonide, quali erano i piaceri che assaporavo quando ero ancora un privato cittadino e di cui ora, da quando sono diventato tiranno, sento la mancanza. Con piacere reciproco frequentavo compagni miei coetanei, mi appartavo da solo quando desideravo un po' di quiete, trascorrevo il mio tempo nei simposi spesso fino a dimenticare ogni affanno dell'esistenza umana, spesso fino ad immergermi con tutta l'anima nei canti, nelle feste, nelle danze, spesso fino a quando perdurava il comune desiderio, mio e dei compagni presenti. Ora sono rimasto privo di quanti si allietavano con me perché ho come compagni non amici ma schiavi; mi è stata tolta anche la possibilità di conversare con loro piacevolmente perché non scorgo in essi alcuna benevolenza per me; ed evito l'ebbrezza e il sonno al pari di un agguato. |

## Quesiti

1) Quali sono le ragioni qui esposte contro l'opinione comune che vuole invidiabile la condizione dell'uomo di potere?

2) Il concorrente commenti la riflessione sul rapporto fra tirannide o sovranità e libertà o uguaglianza ricordando altri autori e altri testi.

3) Il concorrente analizzi lessico e stile del passo, ponendo particolare attenzione ai termini della sfera etico-politica.